Ὁ κύκλος γένηταί σοι τετράγωνος. κἀν μέσῳ
Ἀγορά. φέρουσαι δ' ὦσιν εἰς αὐτὴν ὁδοὶ
Ὀρθαί, πρὸς αὐτὸ τὸ μέσον. ὥσπερ δ' ἀστέρες
Αὐτοῦ κυκλοτεροῦς ὄντος, ὀρθαὶ πανταχῇ
Ἀκτῖνες ἀπολάμπωσιν. Πει. ἅνθρωπος Θαλῆς.
Μέτων. Γε. τί ἐστιν. Πει. οἶσθ' ὁτιὴ φιλῶ σ' ἐγώ;
Κἀμοί γε πειθόμενος, ὑπάπιθι τῆς ὁδοῦ.
Γε. τί δ' ἐστὶ δεινόν; Πει. ὥσπερ ἐν Λακεδαί-
μονι.
Ξενηλατοῦνται, καὶ κεκίνηνταί τινες.
Πληγαὶ συχναὶ κατ' ἄστυ. Γε. μῶν στασιάζετε;
Πει. Μὰ τὸν Δί' οὐ δῆτ. Γε. ἀλλὰ πῶς; Πει.
ὁμοθυμαδὸν
Σποδεῖν ἅπαντας τοὺς ἀλαζόνας δοκεῖ.
Γε. Ὑπάγοιμι γὰρ ἄν γε νὴ Δί'. Πει. ὡς οὐκ οἶδ'
ἄρ' εἰ
Φθαίης ἄν, ἐπίκεινται γὰρ ἐγγὺς αὑταιί.
Γε. Οἴμοι κακοδαίμων. Πει. οὐκ ἔλεγον ἐγὼ πά-
λαι;
Οὐκ ἀναμετρήσεις σαυτὸν ἀπιὼν ἀλλαχῇ;
Επί. Ποῦ πρόξενοι. Πει. τίς ὁ Σαρδανάπαλος οὑ-
τοσί;

A *Circulus fiat quadrangulus, & in medio*
*Forum, ferentes autem sint in ipsum viæ*
*Rectæ ad ipsum medium: tanquam autem stellæ*
*Ipsius circularis existentis, recti vbique*
*Radij resplendeant.* PI. *homo Thales.*
*Meton. Geo. quid est?* PI. *scis quòd diligo te ego,*
*Et mihi persuasus discede via.*
*Geo. Quid est graue?* PI. *quemadmodum in*
B *Lacedæmone*
*Hospitibus impelluntur & mouentur aliquæ*
*Plagæ densæ in ciuitate. Geo. nunquid seditio-*
*nem agitis?*
PI. *Per Iouem non certè. Geo. sed quomodo?*
PI. *simul*
*Calcitrare omnes superbos videtur.*
*Geo. Discedam enim per Iouem.* PI. *valde*
*non scio, si*
C *Præuenies, incumbunt enim propè hæ.*
*Geo. Hei infelix.* PI. *non dixi ego diu?*
*Non remensurabis te ipsum abiens aliò?*
*Exp. Vbi hospites?* PI. *quis Sardanapalus*
*hic?*

Σχόλια. Ὁ κύκλος.] παίζει. ἀδύνατον γὰρ τὸν κύκλον τετράγωνον γενέσθαι. Αὐτοῦ κυκλοτεροῦς.] ἵνα τοῦ μέσου κυκλοτεροῦς ὄντος, αἱ ὁδοὶ αὐτῷ παρεκταθῶσιν ὡς ἀκτῖνες ἀστέρων.

BISETVS. Ὁ τούτων νοῦς ὅδε, ἵνα αἱ ὁδοὶ καθ' ὁμοιότητα τοῦ τροχοῦ, καὶ τῶν αὐτοῦ ἀκτίνων πᾶσαι ἐκ τῆς περιφερείας εἰς τὸ μέσον τοῦ ἀέρος, καὶ εἰς τὸ κέντρον πάντοθεν αὐτὰς εἰς ἓν συντρέχουσαι παρεκταθιστῶσι.

Σχόλια. Ἄνθρωπος Θαλῆς] ἐν σαρκασμῷ φησιν. ἔστι δὲ ὁ Θαλῆς εἷς τῶν ἑπτὰ φιλοσόφων εἷς, ἐπὶ γεωμετρίᾳ διαβεβοημένος. Ἀθηναῖοι περισπῶσιν. ἡ δὲ κοινὴ βαρυτόνως καὶ ὅτε μὲν περισπᾶται, Θαλοῦ ἐστιν ἡ γενική. ὅτε δὲ
E βαρύνεται, Θάλητος. Κἀμοὶ πειθόμενος.] ὡς φίλος σοι συμβουλεύω ὑπαναχωρῆσαι ἐνθεν. Ξενηλατοῦνται] περὶ τῆς ἐκ Λακεδαίμονος ξενηλασίας Θεόπομπός φησιν ἐν τῇ γ καὶ τριακοστῇ. ποτὲ γὰρ ἐκεῖσε ἀποδιᾶς γινομένης, ξενηλασία γέγονεν, ὡς Θεόπομπός φησιν. Μῶν στασιάζετε] ἄρα μὴ εἰς ἀλλήλους μάχεσθε. Ὡς οὐκ οἶδ' ἄρ εἰ φθαίης] οὐκ οἶδα εἰ φθαίης ἀπιέναι, πρὶν ἀποτυμπανισθῆναι. ἅμα δὲ ἔτυπτεν αὐτόν. Ἐγγὺς αὑταιί.] αἱ πληγαί. ἅμα δὲ ἔτυπτεν αὐτόν. Οὐκ ἀναμετρήσεις] ὅτι οὐ γεω-
F μετρήσεις. ἅμα δὲ ὅτι οὐ μέτρια φρονήσεις περὶ τὴν τινα ἀρχὴν κενήν. οὐδὲ μία γὰρ Ἀθήνησι. Ποῦ πρόξενοι] προξένους ἐκάλουν, τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας. Τίς ὁ Σαρδανάπαλος.] οὗτος υἱὸς Ἀνακυνδαράξου βασιλεὺς Νίνου Περ-
D σικῆς χώρας. ὃς ἐν μιᾷ ἡμέρᾳ Ταρσὸν καὶ Ἀγχιάλην ἔκτισεν. ἐκτράπελος ταῖς τρυφαῖς. φασὶ γὰρ αἰσχρῶς αὐτὸν καλλωπίζεσθαι ὥστε οἰκείοις μὴ ὁρᾶσθαι εἰ μὴ εὐνούχοις καὶ κόραις. πεπυρπολημένου δὲ τοῦ οἴκου, ἔνδον εὑρεθείς, ἀπέθανεν. Ἀπολλόδωρος δὲ ταῦτά φησιν ἐγγεγράφθαι ἐπὶ τῷ τάφῳ αὐτοῦ Ἀσσυρίοις γράμμασιν. Σαρδανάπαλος Ἀνακυνδαράξου παῖς. Ταρσόν τε καὶ Ἀγχίαλον ἔδειμεν ἐν ἡμέρᾳ μιᾷ. ἔσθιε. πῖνε. ὄχευε. ὡς τἆλλα οὐδενός ἐστιν ἄ-
E ξια. ὁ δὲ Ἑλλάνικος ἐν τοῖς Περσικοῖς, δύο φησὶ Σαρδαναπάλους γεγονέναι. εἰς τὸ αὐτό. Περσῶν βασιλεύς. ὃς ἐν τρυφῇ ἐξελέξατο τὴν εὐδαιμονίαν. λέγει δὲ περὶ αὐτοῦ, ὅτι ἐν μιᾷ ἡμέρᾳ β πόλεις ἔκτισε τῆς Κιλικίας, Ταρσὸν καὶ Ἀγχιάλην. ἦν δὲ τῷ βίῳ τρυφηλός. καὶ τῷ εἴδει ἐκτράπελος. καὶ τῷ σχήματι ἀλλόκοτος. διὸ λέγουσιν ἐν τῷ τάφῳ αὐτοῦ ἐπιγεγράφθαι τοῦτο τὸ ἐπίγραμμα.

Εὖ δ' εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε
Τερπόμενος θαλίῃσι. θανόντι τοι οὔ τις ὄνησις.
Καὶ γὰρ ἐγὼ σποδός εἰμι Νίνου μεγάλης βασιλεύσας
Ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἐρώτων
F Τερπν' ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
Ἡ δὲ σοφὴ βιότοιο παραίνεσις οὐδέ ποτ' ἐσθλή,
Κεκτήσθω δ' ὁ θέλων σοφίης τὸν ἀπείρονα πλοῦτον.

## ΕΠΙΣΚΟΠΟΣ, ΠΕΙΣΘΕ-ΤΑΙΡΟΣ.

BIS. Ἧκει καὶ Ἐπίσκοπος, ἀλλὰ καὶ οὗτος ὑπὸ Πεισθεταίρου τυπτόμενος ἀπελθεῖν ἀναγκάζεται.

Επί. Ἐπίσκοπος ἥκω δεῦρο, τῷ κυάμῳ λα-
χών.
Ἐς τὰς Νεφελοκοκκυγίας. Πει. ἐπίσκοπος;
Ἔπεμψε δὲ τίς σε δεῦρο; Επί. φαῦλον βιβλίον

## EXPLORATOR, PISTHE-TERVS.

G EXP. *Explorator venio huc, faba sor-*
*titus*
*In nephelococcygias.* PI. *explorator?*
*Misit autem quis te huc? Exp. malus liber*

Σχόλια. Ἐπίσκοπος ἥκω] πλάττει καινὴν ἀρχήν. οὐ γὰρ ἦν Ἀθήνησι. λαχὼν δέ, ἀντὶ τοῦ κληρωθεὶς ταύτην τὴν ἀρχήν. ἄλλως. οἱ παρ' Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι ἐπίσκοποι καὶ φύλακες ἐκαλοῦντο. οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον.

Τελέου.